# TEZAUR LITURGIC

## 3 SEPTEMBRIE

# SLUJBA
# SF.IERARH-MUCENIC
# ANTIM,
# EPISCOPUL NICOMIDIEI

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΤΗ͂ Γ΄ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ ΣΕΠΤΕΜΒΡΙΟΥ
# Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Ἀνθίμου, Ἐπισκόπου Νικομηδείας

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχους δ', καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια. Ἦχος δ'. Ἔδωκας σημείωσιν.

Μύστης ἐνθεώτατος, Εὐαγγελίου τῆς χάριτος, γεγονὼς Πάτερ Ἄνθιμε, πολλοὺς καθωδήγησας, πρὸς ὁδὸν εὐθεῖαν, τῆς θεογνωσίας, ὡς Ἱεράρχης θαυμαστός, καὶ εὐσεβείας θεῖος διδάσκαλος, καὶ ἤνυσας στεῤῥότατα, τοῦ μαρτυρίου τὸ στάδιον· διὰ τοῦτο τὴν μνήμην σου, τὴν σεπτὴν ἑορτάζομεν.

Λόγῳ τῷ τῆ χάριτος, καὶ ἐναρέτοις σου πράξεσι, διαπρέπων μακάριε, ὁσίως ἐποίμανας, τὸν λαὸν Κυρίου, ἅπαντας διδάσκων, τῶν τῆς σαρκὸς καταφρονεῖν, ὡς ἄν τῆς δόξης τῆς ἄνω τύχωσι, καὶ πόνοις τῆς ἀθλήσεως, κατηγωνίσω τὸν δράκοντα, ἱερώτατε Ἄνθιμε, Ἐκκλησίας ἑδραίωμα.

Δῆμον πολυάριθμον, τῶν δισμυρίων ἐπήλειψας, ἀθλητῶν πρὸς τὰ σκάμματα, θείαις ὑποθήκαις σου, τὰ τῆς εὐσεβείας, ὡς σοφὸς ἀλείπτης, καὶ παιδοτρίβης ἱερός, καὶ ἀνυποίστοις καθάπερ ἄσαρκος, βασάνοις προσωμίλησας, καὶ υπέρ φύσιν ἠγώνισαι, καὶ διπλοῦν Πάτερ στέφανον, ἐκ Κυρίου ἀπείληφας.

Ὅλον προσενήνοχας, σαὐτὸν ὡς θῦμα εὐπρόσδεκτον, καὶ σεπτὸν καλλιέρημα, Χριστῷ τῷ Παντάνακτι, Ἄνθιμε τρισμάκαρ, διὰ μαρτυρίου, τὴν σὴν ἁγίαν

βιοτὴν ἐπισφραγίσας ὡς ἐνθεώτατος. Διό σε ὑπεδέξαντο, τῶν οὐρανῶν τὰ σκηνώματα, καὶ πρεσβεύεις ἑκάστοτε, ὑπὲρ τῶν εὐφημούντων σε.
Δόξα, ἦχος β΄.
Εὐαγγελίου γεωργῶν τὸν λόγον, Ἱεράρχης Ὅσιος καὶ ἄκακος, ὡς φωτὸς θείου ἔμπλεως, ἀνεδείχθης Πάτερ Ἄνθιμε· καὶ μαρτυρικοῖς ἀγῶσιν ἐστήριξας, ἐν ἀνδρείᾳ ψυχῆς, τῶν εὐσεβῶν τὰς διανοίας, ὑπὲρ Χριστοῦ ἀθλεῖν νομίμως. Τῷ γὰρ σῷ ὑποδείγματι, πλείστους ἀνέδειξας Μάρτυρας, ὡς εὐσεβείας ὑποφήτης. Μεθ' ὧν καθικέτευε, ὑπὲρ τῶν τιμώντων σε.
Καὶ νῦν. Θεοτοκίον.
Τὴν πᾶσαν ἐλπίδα μου...

Ἀπόστιχα, ἦχος β΄. Οἶκος τοῦ Εὐφραθᾶ.
Θεῖος Ἀρχιερεύς, τῆς ἐν Νικομηδείᾳ, ἁγίας Ἐκκλησίας, Ἄνθιμε ἀνεδείχθης, καὶ ἤθλησας στεῤῥότατα.
Στ.: Οἱ ἱερεῖς σου Κύριε...
Ἄνθος τὸ μυστικόν, ὀσμαῖς τῶν σῶν χαρίτων, ἀεὶ εὐωδιάζεις, Χριστοῦ τὴν Ἐκκλησίαν, Ἱερομάρτυς Ἄνθιμε.
Στ.: Δίκαιος ὡς φοῖνιξ ἀνθήσει...
Μύστης τῶν ὑπὲρ νοῦν, ὡς θεῖος Ἱεράρχης, Ἄνθιμε χρηματίζων, μαρτυρικοὺς ἀγῶνας, διήνυσας ὡς ἄσαρκος,
Δόξα. Τριαδικόν.
Ἔχων ἐν τῇ ψυχῇ, Τριάδος τῆς Ἁγίας, καὶ ἀρχικῆς

Μονάδος, τὸ κράτος Ἱεράρχα, ὑπερφυῶς ἠγώνισαι.
Καὶ νῦν. Θεοτοκίον.
Λόγον τὸν τοῦ Πατρός, συνέλαβες ἀφράστως, Πνεύματος ἐπελεύσει, καὶ τέτοκας Παρθένε, Θεὸν ὁμοῦ καὶ ἄνθρωπον.

Νῦν ἀπολύεις. Τρισάγιον.
Ἀπολυτίκιον τοῦ Ἱερομάρτυρος. Ποίημα Πατριάρχου Κωνσταντινουπόλεως Ἀνθίμου Δ΄. Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος
Τῆς ποίμνης σου θεόφρον, στερρὸς προστάτης γενόμενος, ὑπὲρ αὐτῆς ἑτοίμως τὸ σὸν αἷμα ἐξέχεας, καὶ ἀπειλὰς τῶν δυσμενῶν μὴ πτοηθείς, ἐν οὐρανοῖς νῦν ἀγάλλῃ, τῷ θρόνῳ τῆς τρισηλίου Θεότητος παριστάμενος. Δόξα τῷ ἐνισχύσαντί σε Χριστῷ· δόξα τῇ εὐψυχίᾳ σου, δόξα τῇ μαρτυρικῇ σου Ἄνθιμε καρτερότητι.
Ἕτερον. Ὅμοιον.
Φωστὴρ Νικομηδείας ἀνεδείχθης πολύφωτος, καὶ πάσης Ἐκκλησίας Πάτερ Ἄνθιμε πρόβολος· ἀθλήσας γὰρ στεῤῥῶς ὑπὲρ Χριστοῦ, πλουσίων ἠξιώθης δωρεῶν· διὰ τοῦτό σε τιμῶμεν ἀσματικῶς, Ἱερομάρτυς κράζοντες: Δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.
Δόξα. Ἕτερον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.
Ὡς φοίνιξ ἐξήνθησας, τῆς Ἐκκλησίας Χριστοῦ, καρποῖς τοῖς τῶν λόγων σου, τῶν εὐσεβῶν τὰς ψυχάς,

ἐκτρέφων ἐν χάριτι· ὅθεν καὶ ἐναθλήσας, Πάτερ Ἄνθιμε χαίρων, ὤφθης Ἱερομάρτυς. Εὐκλεὴς τοῦ Σωτῆρος· ᾧ πρέσβευε δεόμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.
Καὶ νῦν. Θεοτοκίον.
Τὸ ἀπ᾿ αἰῶνος ἀπόκρυφον...

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ς΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τοῦ Ἱερομάρτυρος.
Ἦχος α΄. Πανεύφημοι μάρτυρες
Θεόφρον μακάριε βαφαῖς, τοῦ οἰκείου αἵματος, τὴν ἱεράν σου καὶ ἔνθεον, στολὴν ἐφαίδρυνας· ἐκ δυνάμεως γάρ, εὐσεβῶς εἰς δύναμιν, εἰς δόξαν ἀπὸ δόξης προβέβηκας· καὶ νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.
Θυσίαν τὸ πρότερον Θεῷ, φέρων τὴν ἀναίμακτον, ὡς ἱερεὺς ἐννομώτατος, ὡς ὁλοκάρπωμα, καὶ δεκτὴν θυσίαν, σεαυτὸν δι᾿ αἵματος, ὡς Μάρτυς ἀληθέστατος ὕστερον, Χριστῷ προσήγαγες, θεορρῆμον πανσεβάσμιε, ὃν δυσώπει, ὑπὲρ τῶν ὑμνούντων σε.
Μαρτύρων στρατεύματα Χριστῷ, Πάτερ προσενήνοχας, ταῖς ὑποθήκαις σου Ἄνθιμε, καὶ παραινέσεσι, νουθετῶν διδάσκων, καὶ σαφὲς ὑπόδειγμα, θεόφρον σεαυτὸν παρεχόμενος· μεθ᾿ ὧν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ἕτερα, ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Νίκης ἦρας τὰ τρόπαια, καὶ τὸν στέφανον εἴληφας, ἐναθλήσας ἔνδοξε καρτερώτατα, τοὺς αἰκισμοὺς τοὺ τοῦ σώματος, κολάσεων πάνδεινα, ὑπομείνας σταθερῶς, καὶ πικρότατον θάνατον· ὅθεν ἔδραμες, ὡς ταχύτερος ὄρνις ὡς συζήσων, ἀθανάτως εἰς αἰῶνας τῷ Βασιλεῖ καὶ Θεῷ ἡμῶν.

Θεωρίας τῆς κρείττονος, θεωρὸς ἐχρημάτισας, δι’ ἧς καὶ ἐπέτυχες λαμπρυνόμενος, τῆς θείας ὄντως ἐλλάμψεως, φωτὶ φωτιζόμενος, ὡς γηΐνων καὶ φθαρτῶν, μὴ μετέχων τὸ σύνολον, ἀλλ’ ὡς ἄσαρκος, τῶν Ἀγγέλων τὸν βίον βιωτεύσας, ἐν τῇ γῇ, καὶ νῦν τοῖς ἄνω, συζῇς παμμάκαρ τερπόμενος.

Μαθητὴς δοκιμώτατος, μιμητής τε πανάριστος, τοῦ Χριστοῦ πανεύφημε ὄντως γέγονας. Θύων ἀπόνως ὡς ἄσαρκος, ψυχήν σου τὴν ἔνδοξον, ὡς ποιμὴν ἀληθινός, τοῦ ποιμνίου φειδόμενος, οὗ περ ἔλαβες, τὴν διεύθυνσιν, μάκαρ, διευθύνων, πρὸς νομὰς τὰς σωτηρίους, δυνάμει θείᾳ τοῦ Πνεύματος.

Δόξα. Ἦχος πλ. β΄.

Ἱερεὺς ἐννομώτατος, μέχρι τέλους σου ἐχρημάτισας μάκαρ Ἄνθιμε· ἱερουργῶν γὰρ τὰ θεῖα καὶ ἄρρητα μυστήρια, τὸ αἷμα ἐξέχεας ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, καὶ θῦμα εὐπρόσδεκτον αὐτῷ προσήγαγες· διὸ παρρησίαν ἔχων πρὸς αὐτόν, ἐκτενῶς ἱκέτευε, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων, τὴν ἀεισέβαστον μνήμην σου, καὶ τῶν αὐτήν γεραιρόντων, ῥυσθῆναι πειρασμῶν, καὶ παντοίων κινδύνων καὶ περιστάσεων.

Καὶ νῦν. Θεοτοκίον. Τριήμερος ἀνέστης.
Ἱκέτευσον φιλάγαθε, τὸν σὸν Υἱὸν τοῦ δοῦναί μοι, τῶν πολλῶν μου, ἐγκλημάτων ἱλασμόν· καὶ τῆς ἐξ εὐωνύμων, ἀπαλλάξαι μερίδος, καὶ βασιλείας ἀξιῶσαί με.
Εἴσοδος. Φῶς Ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα(μγ΄9-14)
Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (γ΄ 1-9).
Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι,

καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (ε΄15-23,στ΄1-3).
Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς

παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καὶ σύνετε· μάθετε Δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτὴν ψάλλομεν. Ἦχος α΄.

Ἱεροσύνης στολισμῷ διαπρέπων, καὶ τὰς τῷ Θεῷ ἀναιμάκτους θυσίας ὑπὲρ τοῦ λαοῦ σου προσφέρων, θυσίαν ἑκούσιος προσηνέχθης διὰ τῆς γενναίας σου ἀθλήσεως, Ἱερομάρτυς Ἄνθιμε· ὅθεν καὶ τοὺς στεφάνους διπλοῦς κομισάμενος, διπλῆν τὴν χάριν ἔσχες παρὰ Θεοῦ, ἁγιάζων τὰς ψυχὰς ἡμῶν.

Ὅμοιον.

Ὢς θαυμαστοὶ οἱ ἀγῶνές σου Πάτερ, οὓς ὑπὲρ τῆς Ἐκκλησίας ἠγωνίσω, θεολήπτῳ ψυχῇ, Ἱερομάρτυς Ἄνθιμε! Τὸ γὰρ θεῖον Εὐαγγέλιον, λόγῳ καὶ ἔργῳ ἱερουργῶν, πᾶσιν ὑπέδειξας, τῆς εὐσεβείας τὸ κράτος. Οὐκ ἐφείσω γὰρ σαρκὸς θνησκούσης, ἐν τῷ πικρῶς τιμωρεῖσθαί σε, πυρὸς καὶ σιδήρου, ἀκμαιότερος

φανείς, ἐν τῷ ἐνδυναμοῦντί σε Χριστῷ· ἀλλ’ πρέσβευε δεόμεθα, ὑπὲρ τῶν τιμώντων σε.

Ἦχος β΄.

Κατῃσχύνθη δικαίως ὁ δόλιος, τὴν γενναίαν σου καρτερίαν ἰδών, καὶ τὰς τῶν τυράννων ἀπειλάς, καὶ βασάνους, ὡς σκύμβαλα ὑπὸ τοὺς πόδας σου· ὄντως ἀδαμάντινος, καὶ στεῤῥὸς ἐδείχθης. Στεῤῥὸς μὲν διὰ τῆς ἀθλήσεως, λαμπρὸς δὲ διὰ τῆς χάριτος, ἥν ἔσχες ὡς θεῖος ἱερεύς, ἱερῶς λαοῦ προϊστάμενος. Διὸ ἐν παῤῥησίᾳ Θεῷ διατελῶν, μέμνησο τῶν τιμώντων σε.

Ὅμοιον.

Τῶν ἀρετῶν τὰς ἰδέαις κοσμούμενος, τῆς εὐσεβείας ὑποφήτης πρακτικός, ὡς πλήρης θείας χάριτος, ἀνεδείχθης Πάτερ Ἄνθιμε. Καὶ τὴν ἐν Νικομηδείᾳ Ἐκκλησίαν, θεοπρεπῶς ποιμαίνων, τύπον καὶ παράδειγμα, σεαυτὸν παρέστησας, τῷ πληρώματι τῶν πιστῶν, καὶ ἐν καιρῷ τῶν διωγμῶν, στῦλος ἄσειστος ὤφθης, καὶ τῶν ἀθλούντων ὁδηγός, τῶν διωκτῶν καταπλήξας τὰς φρένας, τῇ στεῤῥοτάτῃ ἀθλήσει σου, διὸ εὐφημοῦμέν σε, Ἱερομάρτυς ἀξιάγαστε.

Ἦχος γ΄.

Τὴν ἀναίμακτον θυσίαν, ὁσίαις χερσὶ Θεῷ προσφέρων, ὡς θῦμα εὐπρόσδεκτον καὶ προσφορὰν λογικήν, σεαυτὸν προσενήνοχας, τῷ ἑκουσίως διὰ σὲ τυθέντι, ἱερώτατε Ἄνθιμε. Νομίμως γὰρ ἤθλησας, καὶ ἄνθραξιν ἀγώνων, μυστικῶς Κυρίῳ ὡλοκαύτωσαι. Καὶ ἐπαξίως δοξασθείς, ἀϊδίῳ δόξῃ, μὴ παύσῃ δεόμενος, ὑπὲρ τῶν τιμώντων σε.

Ἦχος δ'.
Ὡς ἱερεὺς τοῦ Κυρίου ἐνδυσάμενος δικαιοσύνην, δικαίως ἀγάλλῃ, καὶ περιχαρῶς συλλειτουργεῖς τοῖς ἄνω λειτουργῶν· εὐχὰς δ’ ἀναπέμπων πρὸς Κύριον, ὑπὲρ τῶν πίστει ἀνευφημούντων σε· οὕς περίσωζε διὰ παντὸς ἀπημάντους, ἐκ τῶν δεινῶν προσβολῶν τοῦ ἐχθροῦ, ῥυόμενος κινδύνων καὶ περιστάσεων,. Οὐδέν σοι ἀδύνατον, ὡς παῤῥησίαν ἔχων πολλήν. Οἶδε γὰρ Θεὸς δοξάζειν σε ὡς εὔσπλαγχνος τοὺς αὐτὸν δοξάζοντας.
Ὅμοιον.
Φερωνύμως ἀνθηφορῶν, τὴν ὀσμὴν τῆς θείας γνώσεως, τὴν δυσωδίαν τῆς πλάνης ἀπελαύνεις, τῇ εὐωδίᾳ τῶν ἀγώνων σου, Ἱερομάρτυς ἀξιάγαστε Ἄνθιμε. Οὐκ ἐνάρκησας γὰρ Ἅγιε, ἐν τοῖς ἐπελθοῦσι θλιβεροῖς, ἀλλ’ ὡς Χριστοῦ μιμητής, προθύμως ἔθηκας σαὐτὸν ὑπὲρ τῆς ποίμνης σου· διὸ ἀντάξια λαβὼν τὰ ἄνω βασίλεια, ῥῦσαι ἡμᾶς πάσης θλίψεως, ταῖς πρὸς Θεὸν πρεσβείαις σου.
Ὅμοιον.
Τὸν Ἱεράρχην τοῦ Χριστοῦ, καὶ Ἀθλητὴν περίδοξον, Ἄνθιμον τὸν μέγαν, τῆς ἐν Νικομηδείᾳ ἁγίας Ἐκκλησίας, ποιμένα καὶ πρόεδρον, καὶ πάσης Ἐκκλησίας λαμπτῆρα φαεινόν, ὕμνοις τιμήσωμεν. Ποιμαντικῶς γὰρ ἐμπρέπων, ἀθλητικῶς ἠγωνίσατο, καὶ τὸν τύραννον ἐχθρὸν καθεῖλεν, ἀπεριτρέπτῳ στάσει. Καὶ διπλοῖς βραβείοις παρὰ Χριστοῦ κοσμηθείς, ἀδιαλείπτως πρεσβεύει, ὑπὲρ τῶν ψυχῶν

ἡμῶν.
Ἦχος πλ. β΄.
Ἐπέλαμψεν ὡς ἔαρ εὐφρόσυνον, ἡ πάνσεπτός σου ἑορτῆ ἐν μετοπώρῳ, καρδίας ἐκτέρπουσα, τῇ διηγήσει τῶν ἄθλων σου. Ἔδει γὰρ ἐν σοὶ δοξασθῆναι τὸν Θεὸν ἐν τοῖς ἄθλοις σου, καὶ δι' αὐτοῦ αἰωνίως τῆς ἀθανάτου δόξης σὲ τυχεῖν· ὢ δόξης οὐρανίου! Δι' ἧς ἐμεγαλύνθῃς ἐν Οὐρανῷ καὶ ἐπὶ γῆς, ἀξιομακάριστε, Ἱερομάρτυς Ἄνθιμε.
Ὅμοιον.
Τῇ μαρτυρικῇ σου ἐνστάσει, τὸ πάθος τοῦ Χριστοῦ δοξάσας, τῆς αὐτοῦ ἐγέρσεως ἐκοινώνησας, μεταστὰς τῶν τῇδε, Ἱερομάρτυς Ἄνθιμε. Μακάριος σὺ εἶ, ὅτι τὸν καρπὸν τῆς θεώσεως ἐτρύγησας, τῶν αἰωνίων ἀγαθῶν κληρονόμος γενόμενος. Αὐτῶν καὶ ἡμᾶς ἀξίωσον, ταῖς πρὸς Θεὸν πρεσβείαις σου, δεόμεθα Ἅγιε.
Ἦχος πλ. δ΄.
Τῷ φωτὶ τῶν λόγων σου, τοὺς ἐν σκότει τῆς πλάνης φωταγωγῶν, ὡς λαμπὰς ἀνήφθης, ἐν τῷ σταδίῳ τῆς ἀθλήσεως, Ἱερομάρτυς Ἄνθιμε· ἡ γὰρ χάρις τοῦ Πνεύματος, ἐν σοὶ παραδόξως ἐνεργοῦσα, ἀνυποίστων αἰκισμῶν, ἀνώτερόν σε ἔδειξεν, ὡς Ἀποστόλων ὁμότροπον, καὶ τοῦ Χριστοῦ θεράποντα γνήσιον. Καὶ νῦν τοῦ ξύλου τῆς ζωῆς, ἀμέσως κατατρυφῶν, καὶ θέσει θεούμενος, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.
Δόξα. Ἦχος πλ. β΄.
Λαμπρύνεται σήμερον ἅπασα ἡ τοῦ Χριστοῦ Ἐκκλησία, πανηγυρίζουσα φαιδρῶς· κροτοῦσι δῆμοι

Ἁγίων, καὶ χοροῖ Μαρτύρων ἀγάλλονται. Πεφοινιγμένῃ τῇ στολῇ τῆς Ἱεραρχίας ἐν τῷ αἵματι τῆς ἀθλήσεως, προεξάρχει τῆς χορείας, ὁ ἔνδοξος Ἱεράρχης, Νικομηδείας τὸ καύχημα, Θεὸν ἀδιαλείπτως δυσωπῶν, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ Ποιητὴς καὶ Λυτρωτής μου Πάναγνε...

Εἰς τὸν στίχον, ἦχος δ'. Ἔδωκας σημείωσιν.

Ἄθλησιν ὑπέρτιμον, τὸν ἑκουσίως εἰς θάνατον, παραδόντα μιμούμενος, ὑπέστης μακάριε, καὶ σφαγὴν βιαίαν, χερσὶ παρανόμων, καὶ ἐδοξάσθη διὰ σοῦ, ὁ ἐν ἁγίοις ἀναπαυόμενος. Αὐτὸν ἀεὶ ἱκέτευε ὑπὲρ τῶν πόθῳ τιμώντων σε, λυτρωθῆναι κολάσεως, ἐν ἡμέρᾳ τῆς κρίσεως.

Στ.: Δίκαιος ὡς φοίνιξ ἀνθήσει...

Στρεβλώσεις τοῦ σώματος, μελῶν ἐκκόψεις καὶ δύσφορα, πολυώδυνα βάσανα, ψυχῆς καρτερότητι, γενναίως παρῆλθες· πάσχων οὐκ ἠπείλεις, οὐδὲ τῷ κρινόντι τὰ σά, ἀδίκῳ δίκῃ ἀντιφερόμενος. Τὸ ἔργον ἀνεπλήρωσας, τοῦ δι' ἡμᾶς ὑπομείναντος, καὶ παθόντος ὡς ἄνθρωπος, ὅν δυσώπει πανεύφημε.

Στ.: Ὑπομένων, ὑπέμεινα τὸν Κύριον...

Τίμιος ὁ θάνατος, ἐνδοξοτάτη ἀντίδοσις, τῶν ἁγίων ἡ εὔκλεια. Τούτων τὴν εὐπρέπειαν, εὐκλεῶς τρισμάκαρ, ἀνέλαβες ὅλως, ὡς εὐσεβείας ἐραστής, ὡς ἐναθλήσας ὑπὲρ τοῦ Κτίστου σου, ὅν ἐκτενῶς ἱκέτευε,

θεομακάριστε Ἄνθιμε, δοῦναι πᾶσι συγχώρησιν, ὧν ἀφρόνως ἡμάρτομεν.
Δόξα, ἦχος πλ. β΄.
Ἀθάνατος ὑπάρχει ἡ μνήμη τῶν Ἁγίων, ἀθανάτου ζωῆς ἐνδόξως ἀξιωθέντες. Οἱ γὰρ δίκαιοι ζῶσι καὶ μετὰ πότμον, ἀθανάτως ἐπὶ γῆς βιώσαντες. Ζῇ δὲ αἰωνίως, καὶ στεφηφορῶν ὑπερτίμως, ὡς Μάρτυς ἀήττητος, καὶ Ἱεράρχης πανσέβαστος, Ἄνθιμος ὁ ἔνδοξος, Νικομηδείας τὸ κλέος, καὶ Ὀρθοδόξων ἡ δόξα, τῷ θρόνῳ παριστάμενος Χριστοῦ, δέησιν ποιεῖται ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.
Καὶ νῦν. Θεοτοκίον. Τριήμερος ἀνέστης
Ζηλώσας ὁ ἀντίδικος, τὴν ποίμνην σου πανάχραντε, καθ᾽ ἑκάστην, πολεμεῖ ὁ πονηρός, κατάβρωμα ποιῆσαι· ἀλλὰ σὺ Θεοτόκε, τῆς βλάβης τούτου ἐξελοῦ ἡμᾶς.

Νῦν ἀπολύεις. Τρισάγιον.
Ἀπολυτίκιον τοῦ Ἱερομάρτυρος. Ποίημα Πατριάρχου Κωνσταντινουπόλεως Ἀνθίμου Δ΄. Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος
Τῆς ποίμνης σου θεόφρον, στερρὸς προστάτης γενόμενος, ὑπὲρ αὐτῆς ἑτοίμως τὸ σὸν αἷμα ἐξέχεας, καὶ ἀπειλὰς τῶν δυσμενῶν μὴ πτοηθείς, ἐν οὐρανοῖς νῦν ἀγάλλῃ, τῷ θρόνῳ τῆς τρισηλίου Θεότητος παριστάμενος. Δόξα τῷ ἐνισχύσαντί σε Χριστῷ· δόξα τῇ εὐψυχίᾳ σου, δόξα τῇ μαρτυρικῇ σου Ἄνθιμε καρτερότητι.

Ἕτερον. Ὅμοιον.
Φωστὴρ Νικομηδείας ἀνεδείχθης πολύφωτος, καὶ πάσης Ἐκκλησίας Πάτερ Ἄνθιμε πρόβολος· ἀθλήσας γὰρ στεῤῥῶς ὑπὲρ Χριστοῦ, πλουσίων ἠξιώθης δωρεῶν· διὰ τοῦτό σε τιμῶμεν ἀσματικῶς, Ἱερομάρτυς κράζοντες: Δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.
Δόξα. Ἕτερον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.
Ὡς φοίνιξ ἐξήνθησας, τῆς Ἐκκλησίας Χριστοῦ, καρποῖς τοῖς τῶν λόγων σου, τῶν εὐσεβῶν τὰς ψυχάς, ἐκτρέφων ἐν χάριτι· ὅθεν καὶ ἐναθλήσας, Πάτερ Ἄνθιμε χαίρων, ὤφθης Ἱερομάρτυς. Εὐκλεὴς τοῦ Σωτῆρος· ᾧ πρέσβευε δεόμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.
Καὶ νῦν. Θεοτοκίον.
Τὸ ἀπ’ αἰῶνος ἀπόκρυφον...

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ στιχολογίαν, κάθισμα, ἦχος πλ. α΄. Τὸν Συνάναρχον Λόγον.
Ἀρετῶν διαπρέπων τοῖς κατορθώμασιν, ἀθλητικῶς ἠγωνίσω ὑπὲρ τῆς δόξης Χριστοῦ, μὴ φεισάμενος σαρκός, παμμάκαρ Ἄνθιμε· ὅθεν ἀξίως δοξασθείς, χορηγίᾳ θεϊκῇ, μὴ παύσῃ καθικετεύων, ὑπὲρ τῶν πίστει τιμώντων, τὴν μακαρίαν σου ἄθλησιν.

Δόξα. Ἕτερον. Ὅμοιον.
Τῆς ψυχῆς τὸ ἀνδρεῖον καὶ καρτερώτατον, οὐρανῶν αἱ δυνάμεις ὑπερεθαύμασαν, τὴν καρτερίαν σου μάκαρ, ἐκπληττόμεναι, ὅτι ἐν σώματι θνητῷ, τὸν ἀσώματον ἐχθρόν, κατέβαλες ὡς γενναῖος, τῆς εὐσεβείας προστάτης, καὶ στρατιώτης Χριστοῦ ἀήττητος.
Καὶ νῦν. Θεοτοκίον.
Παναγία Παρθένε Θεοχαρίτωτε, τῇ θερμῇ σου δεήσει καὶ ἱκεσίαις σου, τοὺς προσφυγόντας τῇ σκέπῃ σου βοήθησον, καὶ ἐλευθέρωσον ἡμᾶς, ἐκ τῶν παγίδων τοῦ ἐχθροῦ, καὶ πάσης ἄλλης ἀνάγκης, δύνασαι γὰρ ὅσα θέλεις ποιεῖν, ὡς Μήτηρ Θεοῦ ἡμῶν.

Μετὰ τὴν β΄ στιχολογίαν, κάθισμα, ἦχος δ΄.
Ἐπεφάνης σήμερον.
Ὡς ἀστὴρ ἐξέλαμψας ἐκ τῆς ἐώας, καὶ πιστοὺς ἐφώτισας, φαίνων θαυμάτων σου βολαῖς, τῶν λυπηρῶν ἐκλυτρούμενος, τοὺς μετὰ πόθου τιμῶντας τὴν μνήμην σου.
Δόξα. Ἕτερον. Ὅμοιον.
Εὐφροσύνης ἔμπλεως ὤφθη σὴ μνήμη, πάντας κατατέρπουσα, τοὺς εὐφημοῦντας εὐλαβῶς, σοῦ τὴν πανσέβαστον ἄθλησιν, Ἱερομάρτυς πατὴρ ἡμῶν Ἄνθιμε.
Καὶ νῦν. Θεοτοκίον.
Θεοτόκε Δέσποινα, χαρὰ καὶ σκέπη, τῶν μακαριζόντων σε, καὶ αἰτουμένων διὰ σοῦ, τυχεῖν ἐλέους διάσωσον, τοὺς προσκυνοῦντας τὸν ἄσπορον

τόκον σου.

Μετὰ τὸν Πολυέλαιον, κάθισμα, ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.
Ἐκ Θεοῦ προχειρισθείς, ποιμὴν προβάτων λογικῶν, ἤχθης ὡς πρόβατον Χριστοῦ, πρὸς τὴν σφαγὴν προσκαρτερῶν, τὴν φονευτῶν σου μανίαν φρικωδεστάτην τυπτόμενος, καὶ γὰρ καὶ τιτρωσκόμενος, σιδήροις καὶ τροχῷ κατακαπτόμενος, τὴν κεφαλὴν ἐτμήθης, χειρὶ δημίου. Διό σε ὄντως σὲ ἀριστέα, ὁ Χριστὸς ἐστεφάνωσε.
Δόξα. Καὶ νῦν. Θεοτοκίον.
Ὄντως ξένον τὸ ἐν σοί, καὶ ὑπὲρ φύσιν ἀληθῶς· ὅτι ἐν χρόνῳ τὸν Θεόν, σάρκα λαβόντα δι’ ἡμᾶς, ἀνερμηνεύτως ἐκύησας, Θεοτόκε. Καὶ γέγονας ἡμῖν, τῆς σωτηρίας ἀρχή, ὁδεύειν εὐμαρῶς, πρὸς τὰ οὐράνια. Καὶ διὰ σοῦ οἰκήτορας, καὶ φίλους πάλιν γενέσθαι Θεοῦ, τῆς μακαρίας καὶ αἰωνίου, Βασιλείαστῶν οὐρανῶν.

Οἱ Ἀναβαθμοί· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἦχου.
Προκείμενον, ἦχος δ΄: Τίμιος ἐναντίον Κυρίου...
Στ.: Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ...
Εὐαγγέλιον κατὰ Ἰωάννην.
Εἶπεν ὁ κύριου τοῖς ἑαυτοῦ Μαθηταῖς: Ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ....
Ὁ Ν΄.
Δόξα: Σήμερον σκιρτῶσιν οἱ δῆμοι τῶν Μαρτύρων, καὶ

ἀγάλλονται Ιεράρχαι, σὺν ἡμῖν γεραίροντες, τὴν μνήμην σου τρισμάκαρ, Ἄνθιμε πολύαθλε, Νικομηδείας κλέος.

Καὶ νῦν: Ταῖς τῆς Θεοτόκου...

Στ.:Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...Ἰδιόμελον.Ἦχος β'

Κατεβλήθη τῇ γενναίᾳ σου ἐνστάσει, ὁ προστάτης τοῦ ᾄδου, καὶ θρηνῶν τὴν ἧτταν γοερῶς, τὰ σπλάγχνα τιτρώσκεται. Οἴμοι, λέγων! ὅτι ὁ Υἱὸς τῆς Παρθένου, τῷ οἰκείῳ αὐτοῦ πάθει, πολὺ τὸ πάθος τῇ καρδίᾳ μου ἐνθείς, πολλοὺς ἔσχε τοῦ αὐτοῦ πάθους μιμητάς. Μεθ' ὧν Ἱεράρχα, καὶ αὐτὸς μιμητὴς γενόμενος, τῷ οἰκείῳ σου πάθει, τὸ πάθος τοῦ ἐχθροῦ ὑπερηύξησας. Διὸ ταῖς ἱκεσίαις ταῖς σαῖς, παθῶν ἡμᾶς ἐλευθέρωσον, ταῖς πρὸς Θεὸν εὐπροσδέκτοις σου δεήσεσιν.

Ὁ Κανὼν τῆς Παναγίας, καὶ τοῦ Ἱερομάρτυρος, οὗ ἡ Ἀκροστιχίς: Ἄνθος σε μέλπω ποιμένων καὶ μαρτύρων. Ἰωσήφ.

ᾨδὴ α´ Ἦχος δ'. Τριστάτας κραταιούς.

Ἀνθήσας ἱερῶς, ὥσπερ κρίνον λειμῶνι, τῶν Μαρτύρων τὰς ψυχάς, ἁπάντων εὐσεβῶν, εὐωδίᾳ τῶν ἄθλων σου, Ἄνθιμε εὐωδιάζεις, τῶν πιστῶς εὐφημούντων σε, Ἱεράρχα καὶ Μάρτυς πολύαθλε.

Νευρώσας τὴν ψυχήν, ἐπιμόνοις μελέταις, ἐξενεύρισας ἐχθρόν, ἀνδρείαις συμπλοκαῖς, καὶ ἀνίσχυρον ἔδειξας· ὅθεν πᾶσα Ἐκκλησία, ἐπιγνοῦσά σε Μάρτυρα, ἀπερίτρεπτον Μάκαρ γεραίρει σε.

Θαμβεῖται κατιδών, πρὸ βημάτων ἀνδρείως,

παρεστῶτά σε Σοφέ, ἀλάστωρ δυσμενής, καὶ θωπείαις ἐκλύειν σου, οἴεται τὴν καρτερίαν· ἀλλ᾽ ἡττήθη καὶ πέπτωκεν, ἀπονοίας αὐτοῦ τὰ φρυάγματα.
Θεοτοκίον
Ὁ Κύριος ἐκ σοῦ, ἀνατείλας ὡς οἶδε, τοὺς χοροὺς τῶν Ἀθλητῶν, ἐλάμπρυνεν Ἁγνή, τὰ αὐτοῦ εἰκονίζοντας, πάθη πάντα ζωηφόρα, καὶ τὸν ἄδικον θάνατον, δικαιοῦντα ἡμᾶς ἁμαρτήσαντας.

Ἕτερος, οὗ ἡ ἀκροστιχίς: Τὸν Ἰεράρχην ἅμα Μάρτυρα θεῖον εὐφημῶ.
ᾨδὴ α´. Ἦχος πλ. δ´. Ἁρματηλάτην Φαραώ.
Ταῖς αεἰφώτοις ἀστραπαῖς τοῦ Πνεύματος, ὡς φωτιζόμενος, φωτιστικῇ λάμψει, τῆς ψυχῆς τὰ ὄμματα, φώτισον καὶ τὴν πώρωσιν τῆς καρδίας μου παῦσον, ὅπως ἀξίως ὑμνήσω σου, μνήμην τὴν πανίερον ἔνδοξε.
Ὁλῶς γενναίως, ἀνδρικῷ φρονήματι, ἀντιτασσόμενος, τῷ ματαίῳ, καὶ τυραννοδράκοντι, τὰς βδελυρὰς καὶ θεοστυγεῖς, εἰδώλων θυσίας, τὰς τούτου ἐξεμυκτήρισας, καὶ Θεὸν τῶν ὅλων ἐδόξασας.
Νικοποιῷ, τῷ διὰ σοῦ τοὺς ἄφρονας, καταβαλόντι λαμπρῶς, ἐν τῇ μαρτυρίᾳ τῇ λαμπρᾷ σου, ἔνδοξε, τῷ ἀθανάτῳ παμβασιλεῖ, Χριστῷ Ἱεράρχα, εὐχαριστίαν προσφέρομεν, αἶνον ἐπινίκιον ᾄδοντες.
Θεοτοκίον.
Ἱερωτέραν τῶν Ἁγίων ἅπαντες, ἐνδοξοτέραν ὁμοῦ, τῶν ἀϋλων τάξεων, ἐν κατανύξει πανευλαβῶς, ψυχῆς σε

τιμῶμεν, καὶ μετὰ πόθου δοξάζομεν, χαῖρε Θεοτόκε Πανύμνητε.

Τοῦ Ἱεράρχου. Ὠδὴ γ΄. Ὅτι στεῖρα ἔτεκεν.
Ἑαυτὸν παρέδωκας, ὡς ὁ Χριστὸς τοῖς ζητοῦσι, καὶ πρὸς σφαγὴν ἠνέχθης, ὥσπερ ἐπίσημος κριός, καθαγιάζων Ἄνθιμε, τῷ αἵματι, πάντας τοὺς τιμῶντάς σε.
Λύσας τῇ θείᾳ χάριτι, πᾶσαν δαιμόνων ἀπάτην, ἤχθης δεσμώτης Μάρτυς, τὸν δεδεμένον διὰ σέ, ἐξεικονίζων Ἄνθιμε, καὶ θανάτω, λύσαντα τὸν θάνατον.
Πρηστήρια ὄργανα, βασανιστήρια πάντα, πρὸ ὀφθαλμῶν σου βλέψας, οὐκ ἐσαλεύθης τῷ νοΐ ἀλλὰ θερμῶς ἐχώρησας, πρὸς βάσανα, Ἄνθιμε πολύαθλε.
Θεοτοκίον
Ὡραιώθης Πάναγνε, τὸν ὑπὲρ πάντας ὡραῖον, τοὺς γηγενεῖς τεκοῦσα, Υἱὸν καὶ Λόγον τοῦ Πατρός· ὃν οἱ γενναῖοι Μάρτυρες, ποθήσαντες, δόξῃ ἐλαμπρύνθησαν.

Ἕτερος. Ὁ στερεώσας κατ᾽ ἀρχάς.
Εὐσεβοφρόνῳ λογισμῷ, καὶ σταθερᾷ διανοίᾳ, πρὸς βασάνων ἀπετόλμησας πεῖραν, αἰκιζόμενος σφοδρῶς, καὶ μάστιξι τυπτόμενος, καὶ ἀηττήτῳ γνώμῃ, ἀπαρασάλευτον ἔμεινας.
Ῥοαῖς αἱμάτων ἱερῶν, ἱερωτάτην πορφύραν, ἐπεχρύσωσας γενναῖε ὁπλῖτα, καλλυνόμενος λαμπρῶς, καὶ ὅλως διαπρέπων, ὤφθης ἐν κόσμῳ

τρισμέγιστος ἔνδοξε.
Ἀνιλεῶς παντοδαπαῖς, ἐγκαρτερῶν ταῖς βασάνοις, καὶ τὸν τένοντα θλαττόμενος ὅλως, ὀβελίσκοις σιδηροῖς, κρηπίσι πυρακτωθείσαις, τούτοις εὐτόλμως ἐχώρησας.
Θεοτοκίον.
Ῥίζης φυεῖσαι Ἰεσσαί, καὶ δειχθεῖσα ὡς δένδρον, καρπὸν ἅγιον ἐγέννησας ὄντως, τὸν Υἱὸν τὸν τοῦ Θεοῦ, δουλείας τοῦ ἀλάστορος, τοὺς πάντας λυτρωσαμένη, διό σε πάντες μεγαλύνομεν.

Κάθισμα τοῦ Ἱερομάρτυρος. Ἦχος α᾽ Τὸν τάφον σου Σωτήρ.
Τὸ αἷμά σου σοφέ, μυστικῶς ἀνεβόα, ἐκ γῆς πρὸς τὸν Θεόν, ὡς τοῦ Ἄβελ θεόφρον· σαφῶς γὰρ ἐκήρυξας, τὴν Τριάδα τὴν ἄκτιστον· ὅθεν Ἄνθιμε, ποιμαντικῶς διαπρέψας, ἀπεδίωξας, τοὺς τῶν αἱρέσεων θῆρας, ὡς φύλαξ τῆς πίστεως.
Δόξα. Ὅμοιον.
Βασάνων ὑποστάς, ἀφορήτους ὀδύνας, διέμεινας στεῤῥῶς, ὥσπερ πάσχοντος ἄλλου, τὰ τραύματα παρέβλεψας, ἀφορῶν πρὸς τὰ μέλλοντα· ὧν τὴν ἄῤῥητον ἐν παῤῥησίᾳ λαμβάνων, δόξαν, ἅπαντας, ταῖς πρὸς Θεόν σου πρεσβείαις διάσωσον Ἅγιε.
Καὶ νῦν. Θεοτοκίον.
Θεὸν ὑπερφυῶς, συλλαβοῦσα Παρθένε, καὶ τέξασα σαρκί, ὑπὲρ νοῦν τε καὶ λόγον, ἐθέωσας τὸ φύραμα, τῶν βροτῶν τῇ κυήσει σου, καὶ ἐνέκρωσας, τὴν τοῦ

Ἀδὰμ ἁμαρτίαν· ὅθεν ζώωσον, τὴν νεκρωθεῖσαν ψυχήν μου, Βελίαρ τῷ δήγματι.

Τοῦ Ἱεράρχου. Ὠδὴ δ΄. Δι᾽ ἀγάπησιν Οἰκτίρμον.
Πέτρα πίστεως τὰς φρένας ἐρηρεισμένος, λίθοις ἐτύφθης Μάρτυς, ἐν μιμήσει Στεφάνου· ὅθεν στεφανοῦμέν σε, τοῖς ὕμνοις γηθόμενοι.
Ὁ Θεοῦ σε ἐπυρπόλησε θεῖος ζῆλος, πεπυρωμένοις· ὅθεν, οὐκ ᾐσθάνου σιδήροις, ἐμπερονιζόμενος, Μαρτύρων ἀγλάϊσμα.
Ἱερέων χρῖσμα ἅγιον κεχρισμένος, καὶ κατηγλαϊσμένος, τῷ σεπτῷ μαρτυρίῳ, χαίρων προσεχώρησας, Ἁγίων εἰς Ἅγια.
Θεοτοκίον.
Μὴ κενώσας τοὺς πατρῴους ὁ Λόγος κόλπους, σοῦ ἐν τοῖς κόλποις Κόρη, ἀνεκλίθη ὡς βρέφος, θέλων ἀναπλάσαι με, φθορᾷ ὑποκείμενον.

Ἕτερος. Σύ μου ἰσχὺς Κύριε.
Χριστὸν ἐν σοί, ἐνδυναμοῦντα μακάριε, ὅλως ἔχων, ἄτρωτος διέμεινας, εἰς καταισχύνην τῶν δυσσεβῶν, καύχημα καὶ κλέος Ὀρθοδοξίας, ἥν ἔδειξας, νικῶν ἐν πᾶσι τούτους, θείαν τε καὶ ἁγίαν, καὶ νικητὴν τοῦ πολεμήτορος.
Ἤχθη δεινῶς, πρὸς τὰς βασάνους τερπόμενος, ἐν σταδίῳ, ἀφειδῶς τὸ σῶμά σου, τοῖς μιαιφόνοις παραδιδούς, Ἄνθιμε τρισμάκαρ, τῇ ἐκκοπῇ μελιζόμενον, ὡς δένδρον ὑπ᾽ αὐτῶν, ὅπως θάλῃ, τῇ

φυτείᾳ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.
Νεανικῶς, ἐγκαρτερῶν ἀοίδιμε, ταῖς βασάνοις, χαίρων ἐναπέδωκας, τὴν παναγίαν καὶ ἱεράν, ψυχήν σου τὴν θείαν, Θεοῦ εἰς χεῖρας, πολύαθλε. Νικήσας τὸν βάλοντα, καὶ Θεοῦ ἀποστάντα, καὶ βραβεῖα τῆς νίκης δεξάμενος.
Θεοτοκίον.
Ἄχραντε σύ, τοῦ Βασιλέως παλάτιον, Βασιλείας Οὐρανῶν ἀξίωσον, τοὺς εὐσεβῶς καὶ ὡς ἀληθῶς, ἐπικαλουμένους τὴν ἄμαχόν σου βοήθειαν, βοήθησον Παρθένε, καὶ ῥῦσαι πάσης βλάβης, ὅπως σὲ πάντες μακαρίζωσι.

Τοῦ Ἱεράρχου. ᾨδὴ ε΄. Τὸν φωτισμόν σου, Κύριε.
Ἐν τῷ δεινῶς πυροῦσθαί σου τοὺς πόδας Ἀθλητά, συνθλᾷς τὴν κάραν, ἀσάρκου δυσμενοῦς, καὶ πρὸς οὐρανὸν βαδίζεις, ἄθλοις ἱεροῖς ἐγκοσμούμενος.
Νενικημένος ἔμεινεν ἐχθρὸς ἐξεστηκώς, Θεὸς δὲ ζώσῃ ἐκάλει σε φωνῇ, θάρσος ἐντιθεὶς τῇ σῇ καρδίᾳ, Ἱεράρχα πολύαθλε.
Ὡς προσφορὰ ὁλόκληρος, ὡς θῦμα ἱερόν, ὡς ἱερεῖον, ὡς κάρπωμα θεῖον, τῷ παμβασιλεῖ Ποιμὴν καὶ Μάρτυς, ἀνηνέχθης γηθόμενος.
Θεοτοκίον
Νόμου σκιαὶ ἐδήλωσαν τὸ φέγγος τὸ ἐκ σοῦ, ἐξανατεῖλαν πανάμωμε Κόρη, καὶ τῶν ἀθλητῶν καταλαμπρῦναν, τοὺς χοροὺς εὐφημοῦντάς σε.

Ἕτερος. Ἵνα τί με ἀπώσω.
Μακρυνθεὶς τῆς φιλίας, τοῦ γαιηροῦ σώματος, πλείστων διὰ πόνων, ᾠκειώθης Θεῷ πανοικτίρμονι, τῷ δι᾽ ἡμᾶς δι᾽ οἶκτον, πεφιληκότι καὶ παθόντι, καὶ τοὺς πάντας παθῶν ἐκλυτρώσαντι.
Αἱ πορεῖαί σου μάκαρ, ὄντως εὐθυνόμεναι εἰς τρίβους ὤφθησαν, εἰς ὁδοὺς πανσόφως, μαρτυρίου δι᾽ οὗ καλλυνόμενος, σιδηραῖς κρηπῖσι, καθηλώμενος τοῦ Βελίαρ, κεφαλὴν καὶ τὰ κέντρα συνέτριψας.
Ματαιόφρων ᾐσχύνθη, ἐκ τῶν θεοπνεύστων σου λόγων, καὶ τῶν ἐνστάνσεων, δι᾽ ὧν ἐξηλέγχθη, ἡ δυσσέβεια τούτου καὶ ἄνοια, ἥν καὶ κατεστρέψω, σθένει παμμάκαρ καὶ δυνάμει, τοῦ τὴν φύσιν ἡμῶν καινουργήσαντος.
Θεοτοκίον.
Ἀληθῆ Θεοτόκον, πάντες ἐπιγνόντες, Ἄχραντε Δέσποινα, τὸν ἐκ σοῦ τεχθέντα, ἀποῤῥήτῳ βουλήματι τέτοκας· ὅθεν κατὰ χρέος, χρεωστικῶς σε ἀνυμνοῦμεν, ὡς Μητέρα Θεοῦ καὶ δοξάζομεν.

Τοῦ Ἱεράρχου. Ὠδὴ ς'. Ἐβόησε, προτυπῶν.
Κυκλούμενος, θλιβερῶς καὶ τροχῷ προσδεσμούμενος, καὶ λαμπάσι, πανταχόθεν εὐτόνως φλεγόμενος, ἀκλινὴς ὡράθης, Ἱεράρχα πολύαθλε Ἄνθιμε.
Ἀνέπεμπες, τῷ Θεῷ ὑμνῳδίαν φλεγόμενος, καὶ τὴν δρόσον, ὡς οἱ Παῖδες ἐξ ὕψους δεχόμενος, Ἀθλητὰ γενναῖε, τῶν Ἁγίων Ἀγγέλων συνόμιλε.
Ἰάτρευσον, τὴν ψυχήν μου νοσοῦσαν ἀνίατα· ἱερεὺς

γάρ, δεδειγμένος καὶ Μάρτυς ἀήττητος, ἐξουσίαν ἔχεις, ἀφαιρεῖν ἁμαρτίας Μακάριε.
Θεοτοκίον
Μαράνασα, τὰ φυτὰ τῆς κακίας Ἀνύμφευτε, τῷ βλαστῷ σου, τῶν παθῶν μου τοὺς σκόλοπας ἔκτιλον, καὶ βλαστάνειν θεῖα, τὴν ψυχήν μου νοήματα ποίησον.

Ἕτερος. Ἰλάσθητί μοι Σωτήρ.
Ῥημάτων σου τῶν σοφῶν, τὴν ἐκκλησίαν ἐπλήρωσας, ῥοαῖς δὲ τῶν ἱερῶν, αἱμάτων ἡγίασας, τῶν σῶν ἱερώτατε, κλείνον αὐτῆς πέδον· ὅθεν πόθῳ νῦν δοξάζει σε.
Τιμᾷ σου χρεωστικῶς, καὶ ἑτησίως τὴν μνήμην σου, γεραίρει δὲ τοὺς λαμπρούς, ἀγῶνάς σου ἔνδοξε, ἐκκλησία ἅπασα, ἡ τῶν Ὀρθοδόξων, ἧς τὴν δόξαν ἐμεγάλυνας.
Ὕλης παθῶν ζοφερῶν, κεκαθαρμένην ἀνάδειξον, ψυχήν μου τὴν ταπεινήν, εὐχαῖς σου πρὸς Κύριον, Ἱεράρχα Ἄνθιμε, ἔχων παῤῥησίαν, ἀκαταίσχυντον πολύαθλε.
Θεοτοκίον.
Ῥημάτων τοῦ Γαβριήλ, ἐν τῇ γαστρί σου συνέλαβες, τὸν ἕνα ὄντως Θεόν, καὶ τοῦτον ἐγέννησας, ἐν χρόνῳ τὸν Ἄχρονον, Υἱὸν γεννηθέντα ἐκ Πατρός, τὸν Προαιώνιον.

Κοντάκιον τοῦ Ἱερομάρτυρος. Ἦχος δ´ Ὁ ὑψωθείς.
Ἐν ἱερεῦσιν εὐσεβῶς διαπρέψας, καὶ μαρτυρίου τὴν

ὁδὸν διανύσας, τὰ τῶν εἰδώλων ἔσβεσας σεβάσματα, πρόμαχος γενόμενος, τῆς σῆς ποίμνης θεόφρον· διὸ σε καὶ γεραίρουσα, μυστικῶς ἐκβοᾷ σοι· Ἐκ τῶν κινδύνων ῥῦσαί με ἀεί, ταῖς σαῖς πρεσβείαις, Πατὴρ ἡμῶν Ἄνθιμε.

Ὁ Οἶκος

Ἐνθεὶς μοι γνῶσιν θεϊκήν, τὸν ζόφον τῆς ἀγνοίας, ἐκ τῆς ἐμῆς καρδίας, ἀπέλασον εὐχαῖς σου, ὅπως ὑμνήσω σου πιστῶς τὴν ἁγίαν μνήμην, ἐν ᾗ Ἀγγέλων χοροί, μετὰ Μαρτύρων σήμερον εὐφραίνονται ἐνθέως· καὶ ἄνθρωποι, ὕμνοις ἐγκωμίων τὴν σὴν κάραν, ὥσπερ ἄνθη συμπλέξαντες, στέφουσιν ἀξίως, αἰτοῦντες παρὰ σοῦ λαβεῖν, τῶν πταισμάτων ἀποχήν, καὶ τῶν κακῶν τοῦ βίου λύσιν, καὶ ἐχθρῶν ὁρατῶν καὶ ἀοράτων ῥυσθῆναι, ταῖς σαῖς πρεσβείαις, Πατὴρ ἡμῶν Ἄνθιμε.

Συναξάριον

Τῇ Γ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Ἀνθίμου, Ἐπισκόπου Νικομηδείας.

· Τμηθεὶς κεφαλὴν Μάρτυς Ἄνθιμε ξίφει,<br>
· Καὶ νεκρὸς ἀνθεῖς εἰς Θεοῦ δόξαν τρίχας.<br>
· Ἄνθιμον ἐν τριτάτῃ ἀπέκτεινε ξίφος ὀξύ.

Τοῦ Ἱεράρχου. Ὠδὴ ζ'. Ἀβραμιαῖοι ποτέ.

Αἱ προσαχθεῖσαι τῷ σῷ, σεπτῷ σαρκίῳ φλόγες, μηδὲν σε ὅλως λυμηνάμεναι, ἐπὶ τοὺς μισοῦντάς σε, ἐπιστασίᾳ θείων, ἐστράφησαν Ἀγγέλων.

Ῥώμῃ Θεοῦ πανσθενεῖ, τροχὸς ἐξαίφνης ἔστη, ὁ τιμωρῶν σε· καὶ κυλίονται, πρὸς πίστιν τῷ θαύματι, οἱ τῶν ἀπίστων δῆμοι, σοφὲ ἱερομύστα.
Τῶν τοῦ Χριστοῦ ἐντολῶν, φύλαξ ὑπάρχων Μάκαρ, ἐφυλακίσθης φυλασσόμενος, πρὸς τούτου καὶ γέγονας, φρουρὸς τοῖς σὲ φρουροῦσι, διδάγμασιν ἐνθέοις.
Θεοτοκίον
Ὑπερβολῇ Παρθένε, φιλανθρωπίας ὤφθη, ἐκ σοῦ ὁ Λόγος σωματούμενος, καὶ σῴζει τοὺς μέλποντας· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ἕτερος. Θεοῦ συγκατάβασιν.
Ἀγάπῃ φλεγόμενος, τοῦ σοῦ Δεσπότου καλῶς διήνυσας, τοὺς μεγίστους ἀγῶνας τοῦ μαρτυρίου σου, Μάκαρ Ἄνθιμε, καὶ νῦν ἀγάλλῃ γηθόμενος ἔνδοξε, ἐν οὐρανίαις μοναῖς νῦν αὐλιζόμενος.
Θεοῦ ἐφιέμενος, ἰδεῖν τὴν δόξαν τὴν ἀνεκλάλητον, τῶν δεσμῶν τοῦ σαρκίου, διὰ βασάνων καὶ πολυπλόκων δεινῶν, τὴν λύσιν τούτων εὐκόλως ἐνήργησας, εὐλογητὸς ἐκβοῶν, ὁ τῶν Πατέρων Θεός.
Ἑκούσιον θάνατον, τὸν τοῦ θανάτου κράτος συντρίψαντα, ἐκμιμούμενος μάκαρ, ὑπέστης ὅλως ἀπείρου χαρᾶς, καὶ εὐφροσύνως αὐτῷ ἀνεκραύγαζες· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.
Θεοτοκίον.
Ἱκέσιον δέησιν, ὑπὲρ ἡμῶν ἀεὶ Δέσποινα, τῷ Υἱῷ καὶ Θεῷ σου, ὡς Μήτηρ οὖσα, αὐτῶ δὴ προσάγαγε. Σὲ γὰρ

προστάτιν εὐμενῆ πρὸς αὐτὸν προβαλλόμεθα· ῥῦσαι τοὺς πάντας πειρασμῶν, καὶ πάσης θλίψεως.

Τοῦ Ἱεράρχου. Ὠδὴ η΄. Λυτρωτὰ τοῦ παντὸς παντοδύναμε.
Ῥητορεύεις Κυρίου τὴν σάρκωσιν, παρανόμων τυράννων ἐνώπιον, προσομιλῶν κολάσεσι, καὶ πικραῖς τιμωρίαις καὶ ἀλγηδόσιν, ἱεράρχα πολύαθλε Ἄνθιμε.
Ὥσπερ σίδηρος Μάκαρ ἐστόμωσαι, τῷ πυρὶ τῶν ἀπείρων κολάσεων, καὶ τὰς ἀμέτρους φάλαγγας, τῶν δαιμόνων συγκόψας, νίκης βραβεῖα, ἀνεπλέξω δοξάζων τὸν Κύριον.
Νεκρωθεὶς ἑκουσίως πανόλβιε, τὴν ζωὴν τὴν ἀγήρω ἀπέλαβες, καὶ Παραδείσου εἴσοδον, καὶ τὰς θείας σκηνώσεις, ἐν αἷς χορεύων, τῶν τιμώντων σε μέμνησο Ἄνθιμε.
Θεοτοκίον
Ἱεραῖς ἐν φωναῖς μακαρίσωμεν, τοῦ Θεοῦ τὴν σκηνὴν τὴν ἀμόλυντον, τὴν κιβωτὸν τὴν ἔμψυχον, τῶν Μαρτύρων τὴν δόξαν, τὴν ἀνωτέραν Χερουβὶμ καὶ ἁπάσης τῆς κτίσεως.

Ἕτερος. Ἑπταπλασίως κάμινον.
Ὅλως φαιδρὸς παρίστασο, τῷ τυράννῳ κρινόμενος, καὶ τὴν ἀθείαν μυκτηρίζων πάνσοφε, σοφοῖς σου διδάγμασι, καὶ θεοφθόγγοις λόγοις σου, καὶ τὴν οἰκουμένην συγκαλῶν τε πρὸς αἶνον Χριστοῦ, βοῶν τοῖς πᾶσιν· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς

πάντας τοὺς αἰῶνας.
Νικομηδείας ἔπληξας, τοὺς λαοὺς ἐν τοῖς ἄθλοις σου, ἐναθλῶν γενναίως, καὶ νικῶν ἀπτοήτως τοῖς λόγοις σου, τυράννων ὠμότητα, καὶ ἀπειλὰς ἅς ἔτρεψας, χλεύην τῶν πολλῶν, καὶ τῶν πιστῶν παῤῥησίαν· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.
Ἔχων θερμὴν πεποίθησιν, πρὸς τὸν Κύριον ἔνδοξε, τοὺς ἐγκαυχωμένους ἐν τοῖς τούτων ἅρμασιν, ἀνδρείως κατέστρεψας, καὶ ὁλοσκεύους ἔπνιξας, ὡς ἐν τῷ βυθῷ τοῦ Ἰσραήλ, τοὺς διώκτας, Μωσῆς ἐν τῇ θαλάσσῃ, σὺν αὐτῷ ἀνακράζων, λαὸς δοξολογεῖτε, Θεὸν εἰς τοὺς αἰῶνας.
Θεοτοκίον.
Ὑμνῶ, ὅν βρέφος τέτοκας, τῷ Πατρὶ καὶ τῷ Πνεύματι, Ἄχραντε Παρθένε, συμφυῶς νοούμενον, Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ σὲ τὴν τοῦτον γεννήσασαν, ἀνυμνολογῶν ἀκαταπαύστως κηρύττω, Μητέρα Θεοῦ ζῶντος, ὅν πρέσβευε Κυρία, σὺν τῷ κλεινῷ Ἀνθίμῳ πάντοτε

Τοῦ Ἱεράρχου. Ὠδὴ θ΄. Εὔα μὲν τῷ τῆς παρακοῆς νοσήματι.
Ὡς ῥόδον εὐῶδες μυστικῶς ἐξήνθησας, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἡμῶν· ὅθεν ἡμᾶς εὐωδιάζεις, Κυρίου εὐωδία γενόμενος, καὶ πάθη τὰ δυσώδη Μακάριε, ἀποδιώκεις τῶν ψυχῶν ἡμῶν.
Σήμερον τὴν μνήμην σου τελεῖ, τὴν ἔνδοξον, συγκαλοῦσα πόλιν ἅπασαν, ἡ εὐγενὴς Νικομηδέων,

περίδοξός τε πόλις ἐν πόλεσιν· αὐτῆς γὰρ πολιοῦχος γεγένησαι, ἣν οὐρανόθεν Μάρτυς ποίμαινε.
Ἡ γῆ σου τὸ αἷμα ἐκχυθὲν ἐδέξατο, Ἱεράρχα, τὸ δὲ πνεῦμά σου, εἰς οὐρανοὺς ἀνεκομίσθη, τοῖς θείοις συναγάλλεσθαι Πνεύμασι· μεθ᾽ ὧν ἡμῶν μνημόνευε Ἄνθιμε, θείων Μαρτύρων ἀκροθίνιον.
Θεοτοκίον
Φλογίνη ῥομφαία ἡ τὸ πρὶν τὴν εἴσοδον, Παραδείσου ἐναπείργουσα, νῶτα νῦν δίδωσι Παρθένε, τοῖς πάθη τὰ σεπτὰ εἰκονίσασι, Χριστοῦ τοῦ λογχευθέντος θελήματι, καὶ σὲ τιμῶσι τὴν ὑπέρτιμον.

Ἕτερος. Ἐξέστη ἐπὶ τοῦτο.
Φερώνυμον τὴν κλῆσιν Πάτερ λαβών, ἄνθη τίμια ὄντως ἐβλάστησας τῶν ἀρετῶν, δι᾽ ὧν εὐωδίασας τοὺς ἐν γῇ, ἐν οἷς καὶ τὸ πολύαθλον σῶμά σου, ὡς κρήνην καταλιπών, θαυμάτων παραδόξων, θεραπεύεις τὰ πάθη, τῶν μετὰ πόθου προσιόντων σοι.
Ἡλίου τηλαυγέστερον δαδουχεῖ, ἡ σεβάσμιος μνήμην σου Ἄνθιμε, ἐν ᾗξ φαιδρῶς, ἔξαρχοι χορεῖαι Ἰεραρχῶν, καὶ τῶν Μαρτύρων τέρπονται, καὶ συνεορτάζομεν καὶ ἡμεῖς, οἱ πόθῳ σὲ τιμῶντες, τρισμάκαρ Ἱεράρχα, Νικομηδείας σεμνολόγημα.
Μνημόνευε μακάριε καὶ ἡμῶν, σεβομένων τὴν θείαν σου ἄθλησιν, καὶ πρὸς Θεόν, εὔχου τοῦ ῥυσθῆναι πάντας ἡμᾶς, τῶν ὀδυνῶν καὶ θλίψεων, τῶν ἐπερχομένων διηνεκῶς, φυγεῖν δὲ τῶν μελλόντων, ἐν ὥρᾳ καταδίκης, ἀκατακρίτους ἡμᾶς ποίησον.

Θεοτοκίον.
Ὡς εὔδιον λιμένα καὶ γαληνόν, τὴν πρεσβείαν σου ἔχοντες πάντοτε, ῥῦσαι ἡμᾶς, ἐκ τῆς τρικυμίας τῶν πονηρῶν, πνευμάτων καὶ ἀπάλλαξον, ἐκ τῆς αἰωνίου καὶ ζοφερᾶς, κολάσεως τοὺς πάντας, καὶ ποίησον μετόχους, τοῦ Παραδείσου Ἀειπάρθενε.

Ἐξαποστειλάριον τοῦ ἱερομάρτυρος. Τῶν μαθητῶν ὁρώντων σε.
Χορείαν ἄγε σήμερον ἐτησίαν, Νικομηδέων πᾶσα χαίρουσα πόλις, τοῦ καλοῦ Ποιμένος σου, καὶ σκίρτησον, τὸν πολιοῦχον ἔχουσα, διατηροῦντά σε βλάβης, τῶν δυσμενῶν ἀνωτέραν.
Ἕτερον. Ὁ Οὐρανὸν τοῖς ἄστροις.
Τῆς ἐκκλησίας φωστῆρα σὲ ἀνεδείξατο Θεός, καὶ διὰ τῶν σῶν ἀγώνων, πᾶσαν τὴν γῆν φωταγωγεῖς, φρουρῶν διέπων τρισμάκαρ, τοὺς εὐφημοῦντάς σε πόθῳ.
Ἕτερον. Ὅμοιον.
Ὁ φωτοφόρος στῦλος, τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, καὶ Ἱεράρχης καὶ Μάρτυς, Ἄνθιμος ὁ θεοειδής, ἀνευφειμήσθω ἀξίως, ᾀσματικαῖς μελῳδίαις.
Θεοτοκίον.
Ὁ ποιητὴς τῶν ὅλων, καὶ Βασιλεὺς τῶν Οὐρανῶν, τεχθεὶς ἐκ Σοῦ ἀποῤῥήτως, προστάτιν σε τῶν εὐσεβῶν, ἀνέδειξε Θεοτόκε, εἰς περιποίησιν κόσμου.

Εἰς τοὺς Αἴνους. Ἦχος α'. Τῶν οὐρανίων Ταγμάτων.
Τῶν φιλεόρτων τὰ πλήθη, φαιδρὰν πανήγυριν, ἐν

ασμασι κροτοῦντα, εὐλαβῶς τοὺς ἀγῶνας, τοῦ θείου ἀριστέως τιμῶντα λαμπρῶς, πρὸς Θεὸν ἀναπέμψατε, δόξαν καὶ αἶνον, τὸν δόντα νίκην αὐτῷ, καὶ μεγάλως θαυμαστώσαντα.

Νικομηδεία ἀγάλλου, σὺν τοῖς οἰκήτορσι, καὶ τέρπου ἐν τῇ μνήμῃ, τοῦ λαμπροῦ σου ποιμένος. Τιμῶσα κατὰ χρέος τὴν ἱεράν, καὶ σεπτὴν αὐτοῦ ἄθλησιν, ἔχεις γὰρ τοῦτον πρὸς Κύριον ὑπὲρ σοῦ, ἐκτενῶς καθικετεύοντα.

Χαῖρε καὶ σὺ Βιθυμία, ἐν σοὶ δ' ἐβλάστησε, τὸ θεῖον τοῦτο ἄνθος, Ἄνθιμος ὁ εὐφραίνων, καρδίας τεθλιμμένων, εὐώδεσι ὀδμαῖς τῆς αὐτοῦ ἱερότητος, καὶ τῶν ἀπείρων θαυμάτων ταῖς δωρεαῖς, ἅς πλουσίως πᾶσι δίδωσι.

Δίδου κἀμοὶ σῷ οἰκέτῃ τὴν εὐλογίαν σου, καὶ σύγγνωθί μοι Πάτερ, εὐλαβῶς εὐφημοῦντι, ἐν ταύτῃ τῇ πανδήμῳ τῶν εὐσεβῶν, πανηγύρει, καὶ ῥῦσαί με, ἐκ τῶν τοῦ βίου κινδύνων καὶ πειρασμῶν, τοὺ ἀλάστορος ἀπάλλαξον.

Δόξα. Ἦχος δʹ. Ἐφραὶμ Καρίας

Τῇ Νικομηδέων μεγαλοπόλει, πᾶσα πόλις καὶ χώρα συνεορτάζει σήμερον, ἐπὶ τῇ μνήμῃ τοῦ σεβασμίου αὐτῆς πολιούχου· καὶ γὰρ τὰ πέρατα τῆς γῆς, κροτεῖ ἐπευφραινόμενα, τῇ νῦν πανηγύρει τοῦ Ἱερομάρτυρος· τούτῳ καὶ ἡμεῖς τοῖς ᾄσμασιν ὡς ἄνθεσι, στεφάνους πλέξαντες ἐκβοήσωμεν. Χαίροις ὁ ποιμὴν ὁ καλός, ὁ τὴν ψυχὴν θεὶς ὑπέρ τῶν προβάτων, ἡ θυσία καὶ θύτης, ὁ Ἱερεὺς καὶ Ἱερεῖον. Σοῦ δεόμεθα, σὺν τοῖς

συνάθλοις σου, Χριστὸν Ἄνθιμε ἱκέτευε, τὴν ποίμνην σου ταύτην τῶν βαρβάρων λύκων λυτρωθῆναι, καὶ τῆς οὐρανίου μάνδρας ἀξιωθῆναι.
Καὶ νῦν. Θεοτοκίον. Ἔδωκας σημείωσιν.
Ἐν κλίνῃ κατάκειμαι, τῆς ἀμελείας πανάμωμε, καὶ ῥαθύμως διέρχομαι, τὸν βίον καὶ δέδοικα, τὸν τῆς τελευτῆς μου, καιρὸν Θεοτόκε, μὴ ὥσπερ λέων ἀφειδῶς, διασπαράξῃ τὴν ταπεινήν μου ψυχήν, ὁ ὄφις ὁ παμπόνηρος· διὸ τῇ σῇ ἀγαθότητι, πρὸ τοῦ τέλους προφθάσασα, πρὸς μετάνοιαν ἔγειρον.
Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## Εἰς τὴν Λειτουργίαν

Τυπικὰ καὶ ἐκ τοῦ κανόνος τοῦ Αγίου γ᾽ καὶ στ᾽ ᾠδή.
Ἀπόστολον καὶ Ευαγγέλιον ζήτει τῇ στ᾽ Νοεμβρίου.
Κοινωνικόν: Εἰς μνημόσυνον αἰώνιον...

Μεγαλυνάρια.
Τὸν ἐν ἱερεῦσιν ἱερουργόν, μύστην τοῦ Δεσπότου, καὶ ἐν μάρτυσι θαυμαστόν, Ἱερομαρτύρων, τὸ κλέος εὐφημοῦμεν· Ἄνθιμε Ἱεράρχα, θεομακάριστε.
Ἔχει δὲ τὸ πνεῦμά σου Οὐρανός, καὶ ἡμεῖς πλουτοῦμεν, τὴν εἰκόνα σου φέροντες, ἥν μετ᾽ εὐλαβείας καὶ πόθου ἀνεικάστου, τιμῶντες προσκυνοῦμεν, καὶ ἀσπαζόμεθα.
Φύλαττε τρισμάκαρ ταῖς σαῖς εὐχαῖς, πάντας τοὺς τιμῶντας, τὴν πανίερον μνήμην σου, καὶ τοὺς σοὺς

ἀγῶνας, καὶ ῥῦσαι αἰωνίως, παντοίας καταδίκης, Ἄνθιμε ἔνδοξε.
Χαίροις τοῦ Σωτῆρος μυσταγωγέ, τῶν Ἀρχιερέων, ὑποτύπωσις καὶ κανών· χαίροις τῶν Μαρτύρων, σύναθλος καὶ ἀλείπτης, Ἄνθιμε Ἱεράρχα, ἡμῶν ἀντίληψις.

